καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Σαουλ ἐκ Ροωβωθ τῆς παρὰ ποταμόν.
[38]ἀπέθανεν δὲ Σαουλ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Βαλαεννων υἱὸς 38
Αχοβωρ. [39]ἀπέθανεν δὲ Βαλαεννων υἱὸς Αχοβωρ, καὶ ἐβασίλευσεν 39
ἀντ᾿ αὐτοῦ Αραδ υἱὸς Βαραδ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Φογωρ,
ὄνομα δὲ τῇ γυναικὶ αὐτοῦ Μαιτεβεηλ θυγάτηρ Ματραιθ υἱοῦ
Μαιζοωβ.

[40]Ταῦτα τὰ ὀνόματα τῶν ἡγεμόνων Ησαυ ἐν ταῖς φυλαῖς αὐτῶν 40
κατὰ τόπον αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν
αὐτῶν· ἡγεμὼν Θαμνα, ἡγεμὼν Γωλα, ἡγεμὼν Ιεθερ, [41]ἡγεμὼν 41
Ελιβεμας, ἡγεμὼν Ηλας, ἡγεμὼν Φινων, [42]ἡγεμὼν Κενεζ, ἡγεμὼν 42
Θαιμαν, ἡγεμὼν Μαζαρ, [43]ἡγεμὼν Μεγεδιηλ, ἡγεμὼν Ζαφωιμ. οὗ- 43
τοι ἡγεμόνες Εδωμ ἐν ταῖς κατῳκοδομημέναις ἐν τῇ γῇ τῆς κτή-
σεως αὐτῶν.

Οὗτος Ησαυ πατὴρ Εδωμ.

[1]Κατῴκει δὲ Ιακωβ ἐν τῇ γῇ, οὗ παρῴκησεν ὁ πατὴρ αὐτοῦ, 37
ἐν γῇ Χανααν. [2]αὗται δὲ αἱ γενέσεις Ιακωβ· Ιωσηφ δέκα ἑπτὰ 2
ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν αὐτοῦ τὰ πρόβατα ὢν
νέος, μετὰ τῶν υἱῶν Βαλλας καὶ μετὰ τῶν υἱῶν Ζελφας τῶν γυ-
ναικῶν τοῦ πατρὸς αὐτοῦ· κατήνεγκεν δὲ Ιωσηφ ψόγον πονηρὸν
πρὸς Ισραηλ τὸν πατέρα αὐτῶν. [3]Ιακωβ δὲ ἠγάπα τὸν Ιωσηφ 3
παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρους ἦν αὐτῷ· ἐποί-
ησεν δὲ αὐτῷ χιτῶνα ποικίλον. [4]ἰδόντες δὲ οἱ ἀδελφοὶ αὐτοῦ ὅτι 4
αὐτὸν ὁ πατὴρ φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτὸν
καὶ οὐκ ἐδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν.

[5]Ἐνυπνιασθεὶς δὲ Ιωσηφ ἐνύπνιον ἀπήγγειλεν αὐτὸ τοῖς ἀδελ- 5
φοῖς αὐτοῦ [6]καὶ εἶπεν αὐτοῖς Ἀκούσατε τοῦ ἐνυπνίου τούτου, οὗ 6
ἐνυπνιάσθην· [7]ᾤμην ἡμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ, 7
καὶ ἀνέστη τὸ ἐμὸν δράγμα καὶ ὠρθώθη, περιστραφέντα δὲ τὰ
δράγματα ὑμῶν προσεκύνησαν τὸ ἐμὸν δράγμα. [8]εἶπαν δὲ αὐτῷ 8
οἱ ἀδελφοί Μὴ βασιλεύων βασιλεύσεις ἐφ᾿ ἡμᾶς ἢ κυριεύων κυριεύ-
σεις ἡμῶν; καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν ἐνυ-
πνίων αὐτοῦ καὶ ἕνεκεν τῶν ῥημάτων αὐτοῦ. — [9]εἶδεν δὲ ἐνύπνιον 9
ἕτερον καὶ διηγήσατο αὐτὸ τῷ πατρὶ αὐτοῦ καὶ τοῖς ἀδελφοῖς αὐ-
τοῦ καὶ εἶπεν Ἰδοὺ ἐνυπνιασάμην ἐνύπνιον ἕτερον, ὥσπερ ὁ ἥλιος
καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. [10]καὶ ἐπετί- 10
μησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ καὶ εἶπεν αὐτῷ Τί τὸ ἐνύπνιον τοῦτο,
ὃ ἐνυπνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ

39 αραδ pau.] αραθ A | βαραδ mu.] βαραθ A | μαιτεβεηλ Ra.] μετ. A || 40 ιεθερ] ιεβερ A† || 41 φινες A† || 43 μετοδιηλ A† | ζαφωει A†
37 2 κατηνεγκεν L] -καν A || 4 ο πατηρ φιλει L] εφιλει ο π. αυτου A || 7 ημας pau.] υμας A || 9 ενυπνιασαμην mu.] -ιασθην A || 10 αυτω 2° > A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/111 UNIVERSITÄT LEIPZIG